καὶ ἀνύψωσαν ναὸν ἅγιον κυρίῳ
ἡτοιμασμένον εἰς δόξαν αἰῶνος.
13 καὶ Νεεμιου ἐπὶ πολὺ τὸ μνημόσυνον
τοῦ ἐγείραντος ἡμῖν τείχη πεπτωκότα
καὶ στήσαντος πύλας καὶ μοχλοὺς
καὶ ἀνεγείραντος τὰ οἰκόπεδα ἡμῶν.
14 Οὐδεὶς ἐκτίσθη ἐπὶ τῆς γῆς τοιοῦτος οἷος Ενωχ·
καὶ γὰρ αὐτὸς ἀνελήμφθη ἀπὸ τῆς γῆς.
15 οὐδὲ ὡς Ιωσηφ ἐγεννήθη ἀνὴρ
ἡγούμενος ἀδελφῶν, στήριγμα λαοῦ,
καὶ τὰ ὀστᾶ αὐτοῦ ἐπεσκέπησαν.
16 Σημ καὶ Σηθ ἐν ἀνθρώποις ἐδοξάσθησαν,
καὶ ὑπὲρ πᾶν ζῷον ἐν τῇ κτίσει Αδαμ.
50 1 Σιμων Ονιου υἱὸς ἱερεὺς ὁ μέγας,
ὃς ἐν ζωῇ αὐτοῦ ὑπέρραψεν οἶκον
καὶ ἐν ἡμέραις αὐτοῦ ἐστερέωσεν ναόν·
2 καὶ ὑπ᾿ αὐτοῦ ἐθεμελιώθη ὕψος διπλῆς,
ἀνάλημμα ὑψηλὸν περιβόλου ἱεροῦ·
3 ἐν ἡμέραις αὐτοῦ ἐλατομήθη ἀποδοχεῖον ὑδάτων,
λάκκος ὡσεὶ θαλάσσης τὸ περίμετρον·
4 ὁ φροντίζων τοῦ λαοῦ αὐτοῦ ἀπὸ πτώσεως
καὶ ἐνισχύσας πόλιν ἐν πολιορκήσει.
5 ὡς ἐδοξάσθη ἐν περιστροφῇ λαοῦ,
ἐν ἐξόδῳ οἴκου καταπετάσματος·
6 ὡς ἀστὴρ ἑωθινὸς ἐν μέσῳ νεφελῶν,
ὡς σελήνη πλήρης ἐν ἡμέραις,
7 ὡς ἥλιος ἐκλάμπων ἐπὶ ναὸν ὑψίστου
καὶ ὡς τόξον φωτίζον ἐν νεφέλαις δόξης,
8 ὡς ἄνθος ῥόδων ἐν ἡμέραις νέων,
ὡς κρίνα ἐπ᾿ ἐξόδῳ ὕδατος,
ὡς βλαστὸς Λιβάνου ἐν ἡμέραις θέρους,
9 ὡς πῦρ καὶ λίβανος ἐπὶ πυρείου,
ὡς σκεῦος χρυσίου ὁλοσφύρητον

$12^3$ και > A† | ναον] λαον BSV† || $13^1$ νεεμιου] νεμουσι(ν) BS*†, μενουσιν V† | $13^2$ ημων S | χειλη S*† || $14^1$ ουδεις] ουδε εις B† | επι — ενωχ] οιος ενωχ τοιουτος επι της γης B† | $14^2$ γαρ > A† | ανελ.] μετετεθη A† || $15^1$ ουδε ως] ο δε B† | εγενηθη BSA || $16^2$ τη > S^c†

50 $1^1$ ονιου] ιονιου B*S | ιερ.] pr. ο A | $1^2$ υπεγραψεν S^c | $1^3$ ημεραις] pr. ταις S*† | ναον] pr. τον B† || $3^1$ ελατομηθη Fr.] ηλαττωθη mss. | αποδοχ(ε)ια SA | $3^2$ λακκος] χαλκος BS || $4^1$ πτοησεως S*† | $4^2$ εν πολιορκησει compl.] εμ(uel ν)πολιορκησαι BSA || $5^1$ ως] ος A || $6^1$ νεφελης BA || $7^2$ και > A || $8^1$ ως > B*† | $8^2$ ως] ωσει SA | εξοδων B†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/470 UNIVERSITÄT LEIPZIG